**15 ΑΠΡΙΛΙΟΥ 2022**

**Παρασκευὴ τῆς ϛ΄ Ἑβδομάδος τῶν Νηστειῶν**

**ὁ Ὄρθρος**

**Παρασκευὴ πρωΐ**

Ἦχος α΄ - 15.04.2022

Λεωνίδου Ἐπισκ. Ἀθηνῶν, Κρήσκεντος Μάρτυρος, Ἀνανίου Λακεδαίμονος Ἱερομάρτυρος

**Εἰς τὸν Ὄρθρον.**

ὁ ἱερεύς· *«Εὐλογητὸς ὁ Θεός»*, *«Βασιλεῦ οὐράνιε»*, ὁ Ἀναγνώστης· Τρισάγιον κ.τ.λ., *«Ὅτι σοῦ ἐστί»*, ὁ Ἀναγνώστης· *«Κύριε, ἐλέησον»* (ιβ΄), Δόξα, Καὶ νῦν, *«Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ»*, ὁ ἱερεύς· *«Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ»*, ὁ δὲ Ἀναγνώστης· **τὸν Ἑξάψαλμον.**

ὁ ἱερεύς· Τὰ εἰρηνικὰ καὶ ἡ ἐκφώνησις *«Ὅτι πρέπει σοι»*.

**ΤΡΙΑΔΙΚΑ :** ὁ Χορός· εἰς ἦχον α΄ (τῆς ἑβδομάδος) τὸ Ἀλληλουάριον τετράκις μὲ τοὺς στίχους αὐτοῦ *«Ἐκ νυκτὸς ὀρθρίζει»* κ.λπ., ὡς ἐν τῷ Ὡρολογίῳ,
μεθ᾽ ὃ τοὺς ἐν τῷ τέλει τοῦ Τριῳδίου Τριαδικοὺς ὕμνους τοῦ α΄ ἤχου (τῆς ἑβδομάδος).

Σωματικαῖς μορφώσεσι, τῶν ἀσωμάτων δυνάμεων, πρὸς νοερὰν καὶ ἄϋλον ἀναγόμενοι ἔννοιαν, καὶ τρισαγίῳ μελῳδήματι, Τρισυποστάτου Θεότητος, ἐκδεχόμενοι ἔλλαμψιν, χερουβικῶς βοήσωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, Δυνάμει τοῦ Σταυροῦ σου σῶσον ἡμᾶς.

Δόξα.

Μετὰ πασῶν τῶν οὐρανίων Δυνάμεων, χερουβικῶς τῷ ἐν ὑψίστοις βοήσωμεν, τὸν Τρισάγιον ἀναπέμποντες αἶνον· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, Πρεσβείαις (τοῦ ἁγίου τοῦ Ναοῦ) σῶσον ἡμᾶς.

Καὶ νῦν.

Ἐξεγερθέντες τοῦ ὕπνου, προσπίπτομέν σοι Ἀγαθέ, καὶ τῶν Ἀγγέλων τὸν ὕμνον, βοῶμέν σοι Δυνατέ· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

ὁ ἱερεύς· μικρὰν συναπτήν. *«Ὅτι σόν τὸ Κράτος»*.

**ΚΑΘΙΣΜΑΤΑ:** ὁ Χορός· εἰς τὴν α΄ στιχολογίαν, τὰ Κατανυκτικὰ τοῦ α΄ ἤχου (τῆς ἑβδομάδος) [ζήτει εἰς τὸ τέλος τοῦ Τριῳδίου].

Καθίσματα Σταυρώσιμα

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὁρῶσα σε Χριστέ, ἡ πανάμωμος Μήτηρ, νεκρὸν ἐπὶ Σταυροῦ, ἡπλωμένον ἐβόα· Υἱέ μου συνάναρχε, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, τίς ἡ ἄφατος οἰκονομία σου αὕτη; δι᾽ ἧς ἔσωσας, τὸ τῶν χειρῶν σου οἰκτίρμον, πλαστούργημα Δέσποτα.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν φιλάνθρωπε, ὅτι ἐν αὐτῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων, Παράδεισον ἠνέῳξας Σωτήρ, τῷ πίστει προσελθόντι σοι Ληστῇ, καὶ τρυφῆς κατηξιώθη ὁμολογῶν σοι, Μνήσθητί μου Κύριε· δέξαι ὥσπερ ἐκεῖνον καὶ ἡμᾶς, κραυγάζοντας· Ἡμάρτομεν, πάντες τῇ εὐσπλαγχνίᾳ σου· μὴ ὑπερίδῃς ἡμᾶς.

Δόξα. Καὶ νῦν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Ἄρνα ἐπὶ ξύλου ἡ ἀμνὰς καθορῶσα, μετὰ ληστῶν μακροθύμως σταυρούμενόν σε Λόγε, καὶ λόγχῃ κεντούμενον πλευράν, ἠλάλαζε βοῶσα μητρικῶς· Τί τὸ ξένον καὶ φρικῶδες, Υἱέ μου μυστήριον; πῶς καλύπτει τάφος τὸν ἀπερίγραπτον Θεόν; ἄφραστον τὸ τελούμενον! Μὴ με τὴν τεκοῦσαν ἐάσῃς, Υἱέ μου γλυκύτατε.

Εἰς τὴν β΄ καὶ γ΄ στιχολογίαν τὰ καθίσματα τῆς ἡμέρας τοῦ Τριῳδίου (Παρασκευῆς ΣΤ΄ ἑβδομάδος)

Μετὰ τὴν β΄ Στιχολογίαν

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Δυὰς ἀποστέλλεται, τῶν Μαθητῶν ἀγαγεῖν, τὸν πῶλον ὡς γέγραπται, ἐν ᾧ Χριστὸς ἐπιβάς, ὡραῖος ἐλεύσεται, αἴνεσιν ἐκ νηπίων, καταρτίσασθαι θείαν. Τοῦτον οὖν ὑπαντῆσαι, ἐπειχθῶμεν σπουδαίως, βαΐα ἐναρέτων, αὐτῷ φέροντες πράξεων.

Δόξα. τὸ αὐτό.

Καὶ νῦν.

Σταυροθεοτοκίον - Ὅμοιον

Παρθένε πανάμωμε, Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου, τὴν παναγίαν ψυχήν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως, τὸν Υἱὸν καὶ Θεόν σου· ὅν περ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων, καιρῷ νηστείας δωρήσασθαι.

Μετὰ τὴν γ´ Στιχολογίαν

Ἦχος πλ. δ´. Ἀνέστης ἐκ νεκρῶν.

Δυὰς τῶν Μαθητῶν, ἀποστέλλεται σήμερον, τὸν πῶλον ἀγαγεῖν, τῷ Δεσπότῃ τῶν ἁπάντων· ἔρχεται ἐπιβῆναι, ὁ ὀχούμενος Σεραφὶμ πλήθεσιν· ἄρχεται δειματοῦσθαι, ὁ κοσμοκράτωρ παμφάγος θάνατος, διὰ Λαζάρου πρῶτον σκυλευθείς, τὸ γένος τῶν ἀνθρώπων.

Δόξα. τὸ αὐτό.

Καὶ νῦν.

Σταυροθεοτοκίον - Ὅμοιον

Τῷ πάθει τοῦ Υἱοῦ, ἡ Ἁγνὴ ἐφεστῶσα, θρηνοῦσα γοερῶς, κατηλάλαζε μέλος· Πῶς σε τὸν ἀσιγήτως, Ἀγγέλων ὕμνοις δοξολογούμενον, παῖδες Ἑβραίων φεῦ μοι! Πιλάτου κρίσει Υἱὲ παρέστησαν! Ὑμνολογῶ σου Λόγε τὴν πολλήν, καὶ ἄῤῥητον εὐσπλαγχνίαν.

ὁ Ν´ Ψαλμὸς χῦμα,

ὁ ἱερεύς· *«Σῶσον, ὁ Θεός»*, *«Κύριε, ἐλέησον»* (ιβ´) καὶ ἡ ἐκφώνησις *«Ἐλέει καὶ οἰκτιρμοῖς»*.

**ΑΙ ΩιΔΑΙ:** Ἐν συνεχείᾳ στιχολογοῦνται αἱ ἐννέα βιβλικαὶ Ὠιδαὶ κατὰ τὴν τάξιν αὐτῶν.

Σήμερον θὰ διαβασθῇ ὁλόκληρος ἡ ε´ Ὠιδή.

**ΚΑΝΟΝΕΣ:** Εἶτα ἀναγινώσκονται οἱ Κανόνες

ὡς ἑξῆς· εἰς ὅσας ᾠδὰς ὑπάρχουν τριῴδια προηγεῖται ὁ κανὼν τοῦ Μηναίου μετὰ τῶν εἱρμῶν αὐτοῦ καὶ ἕπονται τὰ Τριῴδια,

εἰς δὲ τὰς λοιπὰς ᾠδὰς μόνον ὁ κανὼν τοῦ Μηναίου.

ὁ Κανὼν τοῦ Ἁγίου,

οὗ ἡ Ἀκροστιχίς· Κρήσκεντα πηγὴν θαυμάτων ἐπαινέσω.

ποίημα Ἰωσήφ.

Ὠιδὴ α´.

Ἦχος πλ. δ´. Ὁ Εἱρμός.

Ἦχος δ´. Ὁ Εἱρμός.

«Θαλάσσης, τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο».

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Κροτήσωμεν, εὐσεβῶς γηθόμενοι, τῇ μνήμῃ σήμερον, τοῦ ἀθλητοῦ καὶ μάρτυρος πιστοί, ἱερῶς ἐναθλήσαντος, καὶ τὸν τοῦ σκότους ἄρχοντα, τροπωσαμένου θείᾳ χάριτι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥεόντων, παραδραμὼν τὸ ἄστατον, Μάρτυς πολύαθλε, πρὸς αἰκισμοὺς καὶ μάστιγας σαυτόν, ὁλοψύχως ἐκδέδωκας, καὶ νικητὴς γενόμενος, στεφηφορῶν Θεῷ παρίστασαι.

Δόξα.

Ἡμέραν, χαρμονικὴν τελέσωμεν, πανηγυρίζοντες, ἐν τῇ ἀθλήσει σήμερον πιστοί, τοῦ θεόφρονος Κρήσκεντος, καὶ τὰ σεπτὰ παλαίσματα, τούτου τιμήσωμεν γηθόμενοι.

Καὶ νῦν.

Θεοτοκίον

Σαρκοῦται, ὑπερβολῇ χρηστότητος, ἐκ σοῦ ὁ Κύριος, καὶ δι᾿ ἡμᾶς ὁρᾶται καθ᾿ ἡμᾶς, ὁ τῇ φύσει ἀπρόσιτος· ὃν ἐκτενῶς ἱκέτευε, ὑπὲρ ἡμῶν Ἁγνὴ πανάμωμε.

## Ὠιδὴ γ΄.

τοῦ Ἁγίου

### Ἦχος δ΄. Ὁ Εἱρμός.

«Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα».

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Κρεμάμενος τοὺς ξεσμούς, ῥωμαλεότητι νοὸς ἤνεγκας, τὸ τῆς φθορᾶς ἔνδοξε, πάχος προφανῶς ἐκδυόμενος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐνεύρου σε Ἰησοῦς, ἀγωνιζόμενον στεῤῥῶς ἔνδοξε· καὶ τῆς σαρκὸς ἔφερες, πόνους ρωμαλέῳ φρονήματι.

Δόξα.

Νυττόμενος ἀληθῶς, τῇ ἀγαπήσει τοῦ Χριστοῦ ἔνδοξε, Κρήσκη στεῤῥῶς ἤθλησας, πόνοις ἀφειδήσας τοῦ σώματος.

Καὶ νῦν.

Θεοτοκίον

Τὴν μόνην ἐν γυναιξίν, ἀνερμηνεύτως τὸν Θεὸν τέξασαν, τὴν τοῦ παντὸς Δέσποιναν, ἱερολογίαις τιμήσωμεν.

Καταβασία

### Ἦχος δ΄. Ὁ Εἱρμός.

«Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα».

ὁ ἱερεύς· αἴτησιν καὶ ἐκφώνησιν· *«Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν»*

τὸ Μεσῴδιον Κάθισμα τοῦ Μηναίου μετὰ τοῦ Θεοτοκίου

## Μεσῴδιον Κάθισμα.

### Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τῶν αἰωνίων ἀγαθῶν κληρονόμος, ἀποδειχθεὶς δι᾿ εὐσεβοῦς μαρτυρίας, Μεγαλομάρτυς ἔνδοξε παρίστασαι, δόξῃ λαμπρυνόμενος, τοῦ Δεσπότου τῶν ὅλων· ὅθεν τὴν ἁγίαν σου ἑορτάζομεν μνήμην, τὴν τῶν πταισμάτων λύσιν ἀθλητά, Κρήσκη ζητοῦντες, λαβεῖν ταῖς πρεσβείαις σου.

Δόξα. Καὶ νῦν.

Σταυροθεοτοκίον

Οὐ φέρω βλέπειν σε Σταυρῷ τεταμένον, Μήτηρ ἡ σὴ Παμβασιλεῦ ἀνεβόα· ὃν ὑπὲρ φύσιν τέτοκα Υἱὸν καὶ Θεόν, οἶδα γάρ σου Δέσποτα, τὸ φιλάνθρωπον οἶδα, ὅπως πάσχεις ἕνεκα, τῆς βροτῶν σωτηρίας, ἀλλ᾿ οὐ σθένω Τέκνον μητρικάς, φέρειν ὀδύνας, σταυρῷ καθορῶσά σε.

## Ὠιδὴ δ΄.

τοῦ Ἁγίου

### Ἦχος δ΄. Ὁ Εἱρμός.

«Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία, ἐπὶ Σταυροῦ τὸν Ἥλιον, τῆς δικαιοσύνης, ἔστη ἐν τῇ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα· Δόξα τῇ δυνάμει σου Κύριε».

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀναρτώμενος ἐν ξύλῳ γενναιοφρόνως, τοὺς αἰκισμοὺς ὑπέφερες, Μάρτυς ἀθλοφόρε· πάθος γὰρ εἰκόνιζες, τὸ θεῖον καὶ ἄχραντον, δι᾿ οὗ τὴν ἀπάθειαν εὕρηκας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Παριστάμενος ἐνώπιον τῶν τυράννων, τὸ τοῦ Κυρίου ὄνομα, πίστει ἀδιστάκτῳ, Κρήσκη ὡμολόγησας, καὶ χαίρων ἐνήθλησας, ὅθεν εὐσεβῶς σε γεραίρομεν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἠκολούθησας τοῖς ἴχνεσι τοῦ Σωτῆρος, καὶ τὰ αὐτοῦ σωτήρια πάθη εἰκονίσας, μάστιγας ὑπήνεγκας, καὶ βίαιον θάνατον, Μάρτυς ἀθλοφόρε ἀοίδιμε.

Δόξα.

Γενναιότητι κατέπληξας τοὺς ἀθέους, ὑπομονῆς τε σώματος, Κρήσκη θεηγόρε, τὸν τῆς νίκης στέφανον ἐδέξω πανόλβιε, καὶ τὴν δι᾽ αἰῶνος ἀπόλαυσιν.

Καὶ νῦν.

Θεοτοκίον

Ἡ τὸν Κύριον ἁπάντων τῶν ποιημάτων, ὑπερφυῶς κυήσασα, ἐπ᾽ εὐεργεσίᾳ, τοῦ ἰδίου πλάσματος, ἡ πάναγνος Δέσποινα, ἀξιοπρεπῶς μακαρίζεται.

## ᾨδὴ ε΄.

τοῦ Ἁγίου

Ἦχος δ΄. Ὁ Εἱρμός.

«Σύ Κύριέ μου φῶς, εἰς τὸν κόσμον ἐλήλυθας· φῶς ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε».

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ναμάτων ζωτικῶν, τῶν τοῦ Πνεύματος ἔμπλεως, γενόμενος τῆς κακίας, ἀπεξήρανας Μάρτυς, τὰ ῥεύματα Θεόπνευστε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Θανάτῳ τὴν ζωὴν τὴν ἀγήρω κτησάμενος, πανεύφημε ἀναβλύζεις, δωρεὰς ἀθανάτους, τοῖς πίστει προσιοῦσί σοι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Αἱμάτων σου ῥοαῖς, ἱερῶς φοινισσόμενος, καὶ στίγμασιν ἀθλοφόρων, καλλυνόμενος Μάρτυς, ὡς ἄστρον ἀναδέδειξαι.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὑμνοῦμέν σε δι᾽ ἧς τῆς φθορᾶς ἐλυτρώθημεν, πανύμνητε Θεοτόκε, καὶ βοῶμέν σοι· Χαῖρε, Μαρτύρων ἀγαλλίαμα.

τοῦ Τριῳδίου

(ποίημα τοῦ κυρίου Ἰωσήφ)

Ἦχος δ΄. Ἀνάτειλον μοι Κύριε.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Ἐπὶ Σταυροῦ σύ Κύριε, ὑπνώσας μεταβέβληκας, εἰς ὕπνον Δέσποτα τὸν θάνατον· Λάζαρος γὰρ ἐβόας, ὁ φίλος κεκοίμηται· ἀλλὰ ἀπελεύσομαι, ἐξυπνῆσαι νῦν αὐτόν.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Τῶν Προφητῶν κηρύγματα, πληρῶν προφητευόμενα, προφητοκτόνον πρὸς τὴν πόλιν Χριστέ, Οἰκτίρμον παρεγένου, κτανθῆναι θελήματι, τὸν ἀποκτανθέντα με, διασῴζων τῆς φθορᾶς.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Οἱ σῶμα τὸ δυσήνιον, τῷ λόγῳ ὑποτάξαντες, δι᾽ ἐγκρατείας καὶ δεήσεως, μονασταὶ καὶ μιγάδες, Χριστῷ ὑπαντήσατε, πώλῳ ἐπιβαίνοντι, ἐρχομένῳ τε παθεῖν.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥανίσι τοῦ ἐλέους σου, κατάρδευσον Πανάχραντε, τὴν ἐκτακεῖσάν μου καρδίαν, φλογμῷ τῆς ἁμαρτίας, καὶ τὸν ἐσβεσμένον μου, τῆς καρδίας ἄναψον, λύχνον Πύλη τοῦ φωτός.

Ἕτερον Τριῴδιον

ποίημα Θεοδώρου

Ἦχος πλ. δ΄. Τὸν ζόφον τῆς ψυχῆς μου.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Δυάδα Μαθητῶν σου, ἐν τῷ μέλλειν σε φθάνειν εἰς Βηθανίαν Χριστέ, στέλλεις ἀγάγαι σοι πῶ-

λον, ἐφ᾽ ὃν οὐδεὶς ἀνθρώπων ἐκάθισε· πλὴν γὰρ σοῦ, οὐδεὶς τὰ ἄλογα ἔθνη, Σωτὴρ καθυπέταξε.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Συνῆλθεν Ἰουδαίων, ἐξ Ἱεροσολύμων εἰς Βηθανίαν πληθύς, καὶ ταῖς συγγόνοις Λαζάρου, σήμερον μὲν συμπάσχει· ἐπὰν δὲ αὔριον γνῷ, τοῦτον ἐκ τάφου πηδῶντα, κινεῖται πρὸς φόνον Χριστοῦ.

Δόξα.

Τριὰς ἡ παναγία, ὁ Πατήρ, ὁ Υἱός, καὶ Πνεῦμα τὸ παντουργόν, ἡ μακαρία Θεότης, ἡ ἄναρχος οὐσία, τὸ τριλαμπέστατον φῶς, τὸ πανδερκέστατον κράτος, τοὺς δούλους σου φύλαττε.

Καὶ νῦν. Σταυροθεοτοκίον.

Σταυρῷ σε κατιδοῦσα, ἐμπεπαρμένον τοῖς ἥλοις, Χριστὲ ἡ Μήτηρ σου, καὶ ἐκ πλευρᾶς ζωηρᾶς σου, ῥυὲν Αἷμα καὶ ὕδωρ, κατετιτρώσκετο, τῇ μητρικῇ συμπαθείᾳ· Υἱὸν γάρ σε ἔγνω αὐτῆς.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Ἰδοὺ παρεσκευάσθη, ὁ Χριστὸς ἐπιστῆναι, πρὸς τὴν Ἱερουσαλήμ· οἱ ἐν τοῖς ὄρεσι πάντες, καὶ ἐν ταῖς ἐρημίαις, συνέλθετε μονασταί, αὐτῷ χαρᾷ ὑπαντῆσαι, σὺν πάσῃ τῇ ὑπ᾽ οὐρανόν.

## ᾨδὴ ϛ´.

τοῦ Ἁγίου

### Ἦχος δ´. Ὁ Εἱρμός.

«Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι᾽ οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι».

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μέλεσιν, ἐδοξάσθη τοῖς σοῖς ὁ Δεσπότης σου, Κρήσκη θεόπνευστε Μάρτυς, διὰ τοῦτο νῦν σε ἀντιδοξάζει, ἐν σημείοις, καὶ πολλοῖς θαυμασίοις καὶ τέρασιν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἄνθραξι, τῆς ἀγάπης Κυρίου πυρούμενος, διὰ πυρὸς ὑπεδέξω, Μάρτυς ἀθλοφόρε τὸ θεῖον τέλος, καταφλέξας, πολυθέου ἀπάτης τὸ ἄθεον.

Δόξα.

Τίμιος, ἐναντίον Κυρίου ὁ θάνατός, σου παμμακάριστε Κρήσκη, ἀνεφάνη· μέσον πυρὸς γὰρ ὤφθης, μεγαλύνων, καὶ δοξάζων Θεὸν ἀκατάφλεκτος.

Καὶ νῦν.

Θεοτοκίον

Ὡς θρόνον, τοῦ Δεσπότου τῶν ὅλων πυρίμορφον, ὑμνονολογοῦμέν σε Κόρη, καὶ τερπνὸν παλάτιον καὶ λυχνίαν, καὶ παστάδα, καὶ θεόδεκτον ἄχραντε τράπεζαν.

Καταβασία

### Ἦχος δ´. Ὁ Εἱρμός.

«Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι᾽ οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι».

ὁ ἱερεύς· αἴτησιν καὶ ἐκφώνησιν· «*Σὺ γὰρ εἶ ὁ βασιλεὺς*».

Εἶτα ἀντὶ Κοντακίου τὸ ἐνδιάτακτον Μαρτυρικὸν Κάθισμα τοῦ Ἤχου τῆς Ἑβδομάδος
[τὸ τυχὸν Κοντάκιον τοῦ Μηναίου καταλιμπάνεται]

Ἀθλήσεως, καύχημα, καὶ στεφάνων ἀξίωμα, οἱ ἔνδοξοι Ἀθλοφόροι, περιβέβληνταί σε Κύριε· καρτερίᾳ γὰρ αἰκισμῶν, τοὺς ἀνόμους ἐτροπώσαντο, καὶ δυνάμει θεϊκῇ, ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξαντο· αὐτῶν ταῖς ἱκεσίαις δώρησαι ἡμῖν ὁ Θεός, τὸ μέγα σου ἔλεος.

καὶ τὸ Συναξάριον.

Τῇ ΙΕ´ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Μάρτυρος Κρήσκεντος, τοῦ ἐν Μύροις τῆς Λυκίας ἀθλήσαντος.

Στίχοι

Θάμβος βλέπειν Κρήσκεντα τοῦ πυρὸς μέσον,
Ἡγούμενον λειμῶνα τερπνὸν τὴν φλόγα.
Κάτθανε καὶ Κρήσκης πέμπτῃ δεκάτῃ πυρὶ λαύρῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Μάρτυρος Σουκία καὶ τῶν σὺν αὐτῷ Λουκιανοῦ, Πολυεύκτου, Κοδράτου, Ἀντιόχου, Ἰξόρωνος, Μεμμᾶ, Φωκᾶ, Σεργίου, Δομιτίου, Ἀδριανοῦ, Ζωσιμᾶ, Βίκτωρος, Θαλκισίου, Ἰορδάνου, Ἀναστασίου, Θεοδώρου, Ἰακώβου καὶ Θεοδοσίου, τῶν ἐν Ἀρμενίᾳ ἀθλησάντων.

Στίχοι
Βάσις Πίστεως Χριστοῦ ἐν Ἀρμενίᾳ,
Ἐγεγόνεισαν ἄνδρες δέκα ἐννέα.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τῶν Ἁγίων ἐνδόξων Μαρτύρων γυναικῶν, Βασιλίσσης καὶ Ἀναστασίας, μαθητριῶν καὶ εὐλαβῶν κηδευτῶν τῶν Πρωτοκορυφαίων Ἀποστόλων Πέτρου καὶ Παύλου, ἐπὶ Νέρωνος ἐν Ῥώμῃ τὰς κεφαλὰς τμηθεισῶν καὶ τελειωθεισῶν, ἐν ἔτει ἑξηκοστῷ καὶ ὀγδόῳ (68).

Στίχοι
Ἀμνοῦ Θεοῦ σφάττουσιν ἀμνάδας δύο,
Ἀναστασίαν καὶ Βασίλισσαν ἅμα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Λεωνίδου, Ἐπισκόπου Ἀθηνῶν, τοῦ ἐν τοῖς διωγμοῖς τοῦ Δεκίου, ἐν ἔτει διακοσιοστῷ καὶ πεντηκοστῷ (250), ἀνακρεμασθέντος καὶ καταξεσθέντος καὶ τελειωθέντος, οὗ τὸ Ἱερὸν Σεμνεῖον πρὸς τῇ κοίτῃ Ἰλισσοῦ ἀνέσκαπται.

Στίχοι
Σκότος συνέσχε τὰς Ἀθήνας ἀθρόον,
Δύναντος αὐταῖς ἡλίου Λεωνίδου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων ἐνδόξων Μαρτύρων Θεοδώρου πρεσβυτέρου καὶ Παυσολυπίου.

Στίχοι
Παυσολυπίῳ καὶ Θεοδώρῳ θύτῃ,
Δῶρόν τι παυσίλυπον ὄντως τὸ ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἐνδόξου Ἱερομάρτυρος Ἀνανίου, Μητροπολίτου Λακεδαιμονίας, τὸ ἐπίκλην Λαμπρίδης ἢ Θεοφιλόπουλος ἐκ Γορτυνίας καταγομένου, ἐν ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ ἑξηκοστῷ καὶ τετάρτῳ (1764) ἀποκεφαλισθέντος παρὰ τὴν θύραν τῆς Μητροπόλεως ἐν Μυστρᾷ.

Στίχοι
Ἄγρυπνος ποιμὴν λαοῦ χειμαζομένου,
Ἐλευθερῶν αὐτὸν ἔθυσας ψυχήν σου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἐφραίμ, Ἐπισκόπου Ἀτσχούρι τῆς Γεωργίας.

Στίχοι
Σοφῶς ὁ Ἐφραὶμ ἐπισκοπεύσας κάτω,
Εὐφραίνεται ὢν συγχορευτὴς τῶν ἄνω.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Μιστισλάβ-Θεοδώρου, ἡγεμόνος τοῦ Κιέβου.

Στίχοι
Ὁ Μιστισλὰβ δεινὴν μισῶν φιλαργυρίαν,
Πλοῦτον ἄσυλον εὗρεν ἐν Βασιλείᾳ.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

[ἐν τῇ η´ ᾠδῇ πρὸ τοῦ Τριαδικοῦ, ἀντὶ τοῦ Δόξα, λέγομεν *«Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὸν Κύριον»*]

[Εἰς ἀρκετὰς Ἐνορίας παραλείπουν τὴν ἀνάγνωσιν τῶν Ὠδῶν ζ´, η´, θ´, ὡς καθ᾽ ὅλον τὸν ἐνιαυτόν]

Εἰς τὸ *«Αἰνοῦμεν, εὐλογοῦμεν»* ὁ εἱρμὸς τῆς η´ ᾠδῆς τοῦ β´ Τριῳδίου,

Ἦχος πλ. δ´. Ὁ Εἱρμός.

«Ἄγγελοι καὶ οὐρανοί, τὸν ἐπὶ θρόνου δόξης ἐποχούμενον, καὶ ὡς Θεὸν ἀπαύστως δοξαζόμενον,

εὐλογεῖτε, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας».

ὁ ἱερεύς· *«Τὴν Θεοτόκον καὶ μητέρα»*

ὁ Χορός· στιχολογεῖ *«Τὴν τιμιωτέραν»*·

εἶτα ὁ εἱρμὸς τῆς θ΄ ᾠδῆς τοῦ β΄ Τριῳδίου

Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

«Τὸν προδηλωθέντα, ἐν ὄρει τῷ Νομοθέτῃ, ἐν πυρὶ καὶ βάτῳ, τόκον τὸν τῆς Ἀειπαρθένου, εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν, ὕμνοις ἀσιγήτοις μεγαλύνομεν».

καὶ τὸ *«Ἄξιον ἐστίν»*.

ὁ ἱερεύς· Αἴτησιν, καὶ ἐκφώνησιν· *«Ὅτι σέ αἰνοῦσι»*.

**ΦΩΤΑΓΩΓΙΚΟΝ:** ψάλλεται (ἐκ τρίτου) τὸ τοῦ ἤχου τῆς ἑβδομάδος ἀντὶ Ἐξαποστειλαρίου.

Φωταγωγικὸν τοῦ α΄ Ἤχου.

Ὁ τὸ φῶς ἀνατέλλων Κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας, Δυνάμει, Κύριε, τοῦ Σταυροῦ σου, καὶ σῶσόν με.

Ὁ τὸ φῶς ἀνατέλλων Κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας, Πρεσβείαις, Κύριε, (τοῦ ἁγίου τοῦ Ναοῦ), καὶ σῶσόν με.

Ὁ τὸ φῶς ἀνατέλλων Κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας, Πρεσβείαις, Κύριε, τῆς Θεοτόκου καὶ σῶσόν με.

[ψαλμοὶ τῶν Αἴνων δὲν ψάλλονται]

ὁ ἱερεύς· *«Σοί δόξα πρέπει»* καὶ ὁ Ἀναγνώστης· τὴν Δοξολογίαν (χῦμα).

ὁ ἱερεύς· *«Πληρώσωμεν τὴν ἑωθινὴν»* κ.τ.λ, Κεφαλοκλισία, ὡς συνήθως. *«Σὸν γάρ ἐστι τὸ ἐλεεῖν»*.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ ΤΩΝ ΑΙΝΩΝ:**

ὁ Χορός· τὸ Ἰδιόμελον τοῦ Τριῳδίου (δίς)

καὶ τὸ Μαρτυρικὸν (ἅπαξ) εἰς τοὺς οἰκείους στίχους,

Δόξα. Καὶ νῦν, Ἰδιόμελον

Ἀπόστιχα τῶν Αἴνων.

Ἰδιόμελον. Ἦχος δ΄.

ποίημα Λέοντος τοῦ Βασιλέως

Περιφρονήσασα ψυχή μου τῶν θείων χρησμῶν, εὐάλωτος γέγονας, ταῖς μηχαναῖς τοῦ ἐχθροῦ· οἰκείᾳ ῥοπῇ, παραδοθεῖσα τῇ φθορᾷ, καὶ καρωθεῖσα ὑπὸ ἁμαρτίας πολλῆς, τὸ θεότευκτον ἄμφιον ἐῤῥύπωσας, καὶ ἀνευτρέπιστον τοῦ βασιλικοῦ γάμου πεποίηκας· ἀλλ᾿ ἵνα μὴ σὺν τῇ ἁμαρτίᾳ ἑλκυσθῇς, καὶ ὑποκεκρυμμένη τῶν παθῶν τῷ ἐνδύματι, ἀνακλιθεῖσα, τὰς εὐθύνας τῆς εἰσόδου εἰσπραχθῇς, καὶ τοῦ νυμφῶνος ἐκβληθῇς, τῷ Σωτῆρι κράξον· Τὸ φοβερὸν ὄμμα, ὁ λαβὼν ὅπερ εἰμί, καὶ Ὃ ἦς μὴ ἐάσας, καὶ πρὸ σταυροῦ, χλαμύδα ἐμπαιγμοῦ δι᾿ ἐμὲ φορέσας, τὸν σάκκον μου διάῤῥηξον, καὶ εὐφροσύνην ἀμφίασον, καὶ ἐκ σκότους ἐξωτέρου, καὶ κλαυθμοῦ αἰωνίου ῥῦσαί με, καὶ ἐλέησόν με.

Στίχ. α΄. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ᾿ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά, καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Περιφρονήσασα ψυχή μου τῶν θείων χρησμῶν, ...

Μαρτυρικόν

Στίχ. β΄. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ᾿ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ᾿ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Τοὺς Ἀθλοφόρους τοῦ Χριστοῦ δεῦτε λαοὶ ἅπαντες τιμήσωμεν, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, τοὺς φωστῆρας τοῦ Κόσμου, καὶ κήρυκας τῆς Πίστεως, τὴν πηγὴν τὴν ἀένναον, ἐξ ἧς ἀναβλύζει, τοῖς πιστοῖς τὰ ἰάματα· αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ Κόσμῳ

σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα.

Ἰδιόμελον. Ἦχος πλ. δ΄.

Τὴν ψυχωφελῆ, πληρώσαντες Τεσσαρακοστήν, καὶ τὴν ἁγίαν Ἑβδομάδα τοῦ Πάθους σου, αἰτοῦμεν κατιδεῖν Φιλάνθρωπε, τοῦ δοξᾶσαι ἐν αὐτῇ τὰ μεγαλεῖά σου, καὶ τὴν ἄφατον δι᾽ ἡμᾶς οἰκονομίαν σου, ὁμοφρόνως μελῳδοῦντες· Κύριε δόξα σοι.

Καὶ νῦν. Τὸ αὐτό.

ὁ ἱερεύς· *«Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι»*,

ὁ Ἀναγνώστης· Τρισάγιον κ.λπ.,

Αὖθις, τὸ Ἀπολυτίκιον χῦμα

ὁ Ἀναγνώστης· *«Ἐν τῷ ναῷ ἑστῶτες»*, *«Κύριε, ἐλέησον»* (μ΄), Δόξα. Καὶ νῦν. *«Τὴν τιμιωτέραν»*, *«Ἐν ὀνόματι Κυρίου»*·

ὁ ἱερεύς· *«Ὁ ὢν εὐλογητός»*,

ὁ Προεστώς· *«Ἐπουράνιε βασιλεῦ»*, αἱ τρεῖς μεγάλαι μετάνοιαι μετὰ τῆς Εὐχῆς τοῦ Ὁσ. Ἐφραὶμ *«Κύριε καὶ δέσποτα τῆς ζωῆς μου»*.

**Ἡ Ἀκολουθία αὐτὴ καταρτίσθηκε**
**καὶ διανέμεται δωρεὰν**
**ἀπὸ τὸν ὀρθόδοξο Ἱστότοπο**
**http://akolouthies.wordpress.com**
**Προσφέρεται γιὰ ἰδιωτικὴ χρῆσι.**
**Δὲν ἐπιτρέπεται ἡ ἐμπόρευσί της.**
**πόρευσί της.**

Καὶ εὐθὺς ἐπισυνάπτονται αἱ Ὧραι.

**ΑΙ ΩΡΑΙ:** ἀρχόμεναι πᾶσαι μετὰ τοῦ *«Δεῦτε προσκυνήσωμεν»* γ΄, κατὰ τὴν τάξιν τοῦ Τριῳδίου καὶ τοῦ Ὡρολογίου

[ἐν ταῖς ἐνορίαις μετὰ τὴν εὐχὴν τοῦ ἁγίου Ἐφραὶμ παραλείπεται τὸ τρισάγιον καὶ λέγεται εὐθὺς ἡ Εὐχὴ ἑκάστης Ὥρας]

Εἰς τὴν Θ΄ ὥραν, μετὰ τὸ Τρισάγιον καὶ τὰ μετ᾽ αὐτὸ τροπάρια *«Βλέπων ὁ λῃστὴς»* κ.λπ., τὸ *«Κύριε, ἐλέησον»* (μ΄), Δόξα. Καὶ νῦν. *«Τὴν τιμιωτέραν»*, *«Ἐν ὀνόματι Κυρίου»*,

ὁ ἱερεύς· *«Δι᾽ εὐχῶν»*

ὁ Προεστώς· *«Κύριε καὶ Δέσποτα»* καὶ τρεῖς μεγάλαι μετάνοιαι.

οἱ Χοροί· εἰς ἦχον πλ. δ΄ τοὺς Μακαρισμοὺς μετ᾽ ἐφυμνίου εἰς ἕκαστον στίχον τὸ *«Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου»*, κατὰ τὴν ἐν τῷ Τριῳδίῳ καὶ Ὡρολογίῳ τάξιν.

Εἶτα ὁ Ἀναγνώστης· τὰ τροπάρια *«Χορὸς ὁ ἐπουράνιος»* κ.λπ., Καὶ νῦν.

ὁ Προεστώς· *«Πιστεύω εἰς ἕνα Θεόν»*, καὶ τὸ *«Ἄνες, ἄφες, συγχώρησον»*.

τὸ *«Πάτερ ἡμῶν»*, ὁ ἱερεύς· *«Ὅτι σοῦ ἐστί»*,

ὁ Ἀναγνώστης· τὰ Κοντάκια *«Ἐπὶ τοῦ ὄρους μετεμορφώθης»*,

τὸ τῆς ἡμέρας τῆς ἑβδομάδος (βλέπε αὐτὸ εἰς τὴν Ἀκολουθίαν τῶν τυπικῶν), ἤτοι·

Κοντάκιον τοῦ Σταυροῦ. Ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· Εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

τοῦ ἁγίου τοῦ Ναοῦ,

τὸ ἐνδιάτακτον μαρτυρικόν (τὸ ὁποῖον ἀνεγνώσθη καὶ μετὰ τὴν ϛ´ ᾠδὴν τῶν κανόνων), ἤτοι·

τὸ Μαρτυρικὸν Κάθισμα τοῦ Ἤχου τῆς Ἑβδομάδος

Ἀθλήσεως, καύχημα, καὶ στεφάνων ἀξίωμα, οἱ ἔνδοξοι Ἀθλοφόροι, περιβέβληνταί σε Κύριε· καρτερίᾳ γὰρ αἰκισμῶν, τοὺς ἀνόμους ἐτροπώσαντο, καὶ δυνάμει θεϊκῇ, ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξαντο· αὐτῶν ταῖς ἱκεσίαις δώρησαι ἡμῖν ὁ Θεός, τὸ μέγα σου ἔλεος.

Δόξα, τὸ νεκρώσιμον «*Μετὰ τῶν ἁγίων*», Καὶ νῦν, Θεοτοκίον «*Προστασία*»,
«*Κύριε, ἐλέησον*» (μ´), «*Ὁ ἐν παντὶ καιρῷ*», «*Κύριε, ἐλέησον*» (γ´), Δόξα, Καὶ νῦν, «*Τὴν τιμιωτέραν*», «*Ἐν ὀνόματι Κυρίου*»,
ὁ ἱερεύς· «*Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς*».
ὁ Προεστώς· «*Κύριε καὶ Δέσποτα*» καὶ τρεῖς μεγάλαι μετάνοιαι, μεθ᾽ ἃς ἄρχεται ὁ

**Ἑσπερινὸς τῆς 16ης Ἀπριλίου καὶ Θεία Λειτουργία τῶν Προηγιασμένων Δώρων**

16.04.2022

τῶν Ἁγίων μαρτύρων γυναικῶν, Ἀγάπης, Εἰρήνης, καὶ Χιονίας